Θεόδωρος Γ. Τσατσαρώνης

# ΑΚΟΛΟΥΘΙΑ
# Γενεσίου τῆς Ὑπεραγίας Θεοτόκου

## Ἔκδοσις πανηγυρική

Περιέχουσα ἅπαντα τὰ ψαλλόμενα
εἰς τὸν Ὄρθρον καί τὴν Θείαν Λειτουργίαν



Ἰωάννινα, 2020

# ΤΗι Η΄ ΤΟΥ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ

# ΤΟ ΓΕΝΕΘΛΙΟΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

* * * * *

## ΤΥΠΙΚΟΝ

Διάταξις ἰσχύουσα **αἰωνίως, πλὴν Κυριακῆς!**

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης·** Ἀμήν.

Ὁ ἱερεύς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

**Ὁ ἀναγνώστης·** Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
**Ὁ ἀναγνώστης·** Ἀμήν. Καὶ τὰ τροπάρια·
Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.
Δόξα.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.
Καὶ νῦν. Θεοτοκίον.
Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεόν, μόνη **εὐλογημένη.**
Ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ὁ ἀναγνώστης·** **Κύριε, ἐλέησον** **(γ΄)**

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

**Ὁ ἀναγνώστης·** **Κύριε, ἐλέησον** **(γ΄)**

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

**Ὁ ἀναγνώστης·** **Κύριε, ἐλέησον** **(γ΄)**

Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης·** Ἀμήν.

* * *

## Ο ΕΞΑΨΑΛΜΟΣ

**Ὁ ἀναγνώστης** ἐκφώνως·

**Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.**

Ὁμοίως καὶ ὁ ἱερεύς·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης·** **Ἀμήν.**

Καὶ ἀναγινώσκει ὁ προεστὼς ἢ ὁ Ἀναγνώστης τὸν Ἑξάψαλμον.

**Εἰ δὲ εἰσὶν δύο Ἀναγνῶσται** ἀναγινώσκει ὁ πρῶτος ἄχρι τοῦ «Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι» καὶ παραδίδει τὸ Ἐγκόλπιον τῷ δευτέρῳ.

Ὁ δὲ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὰς εὐχὰς τοῦ Ὄρθρου ἐνώπιον τῆς ἁγίας Τραπέζης· μετὰ δὲ τὴν πρώτην τριάδα

τῶν Ψαλμῶν ἐξελθὼν συνεχίζει τὴν ἀνάγνωσιν ἐνώπιον τῆς εἰκόνος τοῦ Κυρίου.

**Ὁ ἀναγνώστης·**

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. **(τρίς)**

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. **(δίς)**

Ψαλμὸς γ´ (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾿ ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ· δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καὶ πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

## Ψαλμὸς λζ´ (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾿ ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾿ ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.
Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

## Ψαλμὸς ξβ´ (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δέ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα. **Καὶ πάλιν.**
Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Καὶ τὰ ἑξῆς **ἄνευ** μετανοιῶν·

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός **(τρίς).**

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ψαλμὸς πζ´ (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅιδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλή-

θειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;
Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾿ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾿ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

## Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## Ψαλμὸς ρβ´ (102).

Εὐλόγει, ἡ ψυχή μου,τὸν Κύριον,καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πά-

σας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται,οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν,τοῖς φυλάσσουσι τὴν

διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχΰϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## Ψαλμὸς ρμβ´ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς,ὡς νεκροὺς αἰῶνος,καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Καὶ πάλιν.**

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Εἶτα·

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Καὶ τὰ ἑξῆς μετὰ μετανοιῶν γ΄, ἤτοι κεφαλοκλισιῶν καὶ σταυρῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (τρίς)
***Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.***



Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν εὐχῶν ὁ ἱερεὺς ἀσπασάμενος τὴν δεσποτικὴν εἰκόνα εἰσέρχεται διὰ τῆς νοτίου πύλης εἰς τὸ Ἱερόν.




Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη καὶ ἐκφώνησις·

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

**Ἦχος δ'**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

*Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

*Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

*Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...*

ΘΕΟΣ ΚΥΡΙΟΣ ΠΕΤΡΟΥ ΠΕΛΟΠΟΝΝΗΣΙΟΥ
Ἦχος Δ'. Δι.




# ΑΠΟΛΥΤΙΚΙΑ

## Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον. **(ἐκ γ΄)**

## Ἀπολυτίκιον, Ἦχος δ΄ Δι




Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις· *Ὅτι σὸν τὸ κράτος...*



# ΚΑΘΙΣΜΑΤΑ

## Μετὰ τὴν α΄ Στιχολογίαν.Ἦχος δ΄.Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυῒδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμοσε φησί, καὶ ἐκπεπλήρωκεν ἰδού, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον· ἐξ ἧς ὁ πλαστουργός, Χριστὸς ὁ νέος Ἀδάμ, ἐτέχθη Βασιλεὺς ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Δόξα. Καὶ νῦν.** **Τὸ αὐτό.**

*Ἀναβόησον Δαυῒδ, ...*

## Καθίσματα. Μετὰ τὴν Α' Στιχολογίαν.

### Ἦχος Δι






**Δόξα… Καὶ νῦν… τὸ αὐτό.**

## Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα, ὅμοιον.

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαυῒδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν, καὶ νεουργεῖται, ἡ σύμπασα, καὶ θεουργεῖται. Συγχάρητε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ· αἰνέσατε αὐτήν, αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Δόξα. Καὶ νῦν. Τὸ αὐτό.**

*Ἐκ τῆς ῥίζης Ἰεσσαί, …*

Ἦχος Δι

π.Κ.Παπαγιάννη

Κατεπλάγη Ἰωσὴφ






**Μετὰ τὸν Πολυέλεον.Ἦχος πλ. δ΄.Τὸ προσταχθὲν μυστικῶς**

Ἀγαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γὰρ οὐρανός, ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ· καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακείμ, Ῥάβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ῥίζης Δαυΐδ. Ὄντως θαῦμα παράδοξον!

**Δόξα. Καὶ νῦν. Τὸ αὐτό.**

Ἀγαλλιάσθω οὐρανός, ...

## Μετὰ τὸν Πολυέλεον, κάθισμα τῆς ἑορτῆς

### Ἦχος πλ. δ' Νη

### Τὸ προσταχθὲν



# ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

## Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

### Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. **(δίς)**

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. **(δίς)**

**Δόξα.**

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται,λαμπρύνεται,τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως

**Καὶ νῦν.**

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

*Ἐκ νεότητός μου. Σύντομον.*

Ἦχος λ-τος Βου.




Οι μι σȣν τες Σι ων αι σχυν θη τε α πο τȣ Κυ
ρι ȣ ως χορ το ος γαρ πυ ρι ι ε σε σθε α
πε ξη ρα με νοι
Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα
τι
Α γι ω Πνε ευ μα τι πα α σα ψυ χη ζω
ȣ ται και κα θαρ σει υ ψȣ ται λαμ πρυ νε ται τη Τρι
α δι κη Μο να δι ι ε ρο κρυ φι ως
Και νυν και α ει και εις τȣς αι ω νας των
αι ω νων Α μην




Ἐκ νεότητός μου. Μελετίου μοναχοῦ, Συκιώτου.

Ἦχος λ-τος Βου.




υ ρι ι ι ϒ ως χο ο ορ το ο ο
ος γα αρ πυ υ ρι ι ι ι ε ε σε ε σθε
ε ε ε α πε ε ε ξη ρα α με ε ε νοι
Δ ο ξα Πα τρι ι ι και Υι υι ω και αι Α γι ι
ω ω Πνε ευ μα α τι ι
Α γι ω Πνε ε ευ μα α τι πα α α α σα
φυ υ υ χη ζω ω ϒ ϒ ϒ ται και κα
θα α α α αρ σει υ φϒ ϒ ϒ ται αι λα αμ πρυ
υ νε ε ται αι τη Τρι α δι κη η Μο ο να
α α α δι ι ι ι ι ε ε ε ρο κρυ υ υ φι ι
ι ως




## Προκείμενον. Ἦχος δ΄. (Ψαλμὸς μδ΄)

**Μνησθήσομαι** τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Στίχος·** Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.




* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...

**Ὁ χορός· Ἀμήν.**

Σταθερὸν Προκείμενον ὄρθρου. Ἦχος β΄. Ψαλμὸς ρν΄ (150).

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (τρὶς)**

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον. (γ΄)**

Ὁ διάκονος·Σοφία·ὀρθοί·ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

**Ὁ χορός· Καὶ τῷ πνεύματί σου.**

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ **(...)** ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

**Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.**

Ὁ ἱερεὺς, **ἀπὸ τῶν βημοθύρων**, ἀναγινώσκει τὸ·
Εὐαγγέλιον τοῦ Ὄρθρου.

Ἐκ τοῦ κατὰ Λουκᾶν (α΄ 39-49, 56)

*Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ...*

**Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.**

**Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν Ν΄ ψαλμόν, χύμα.**

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην,καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ

πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Δόξα.**

Ταῖς τῆς **Θεοτόκου** πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν. Τὸ αὐτό,**

**ἢ τὸ ἑξῆς, ὡς ἐν Ἁγίῳ Ὄρει.**

Ταῖς **τῆς Παναχράντου** πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Δόξα. Ταῖς τῆς Θεοτόκου.*

Ἐκ τῆς ἁγιορειτικῆς προφορικῆς παραδόσεως.

Ἦχος Δι.




*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

Ἐκ τῆς ἁγιορειτικῆς προφορικῆς παραδόσεως.

Ἦχος Δι.



Ἕτερον, συνοπτικώτερον.

Ἦχος Δι.




Ἦχος Δι.



# Ταῖς τῆς Παναχράντου

Ψάλλομεν δὲ **ἀργοσυντόμως** τὸ **Καὶ νῦν.** ἐπισυνάπτοντες ἐν ἑκάστῳ τὸ κάτωθι·




---

❈ ἑτέρα θέσις·






## Καὶ τὸ ἑξῆς ἰδιόμελον ἐκ τῶν ἀποστίχων.

## Ἦχος δ΄. Γερμανοῦ Πατριάρχου.

**Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.**

Ἡ παγκόσμιος χαρά, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος· ἥτις δι᾿ ὑπερβολὴν ἀγαθότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν, Θεοτόκος γνωρίζεται. Αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

## Εἰς τὸν Ν' Ψαλμόν. Μέλος Κων/νου Πρίγγου.

### Ἦχος Πα






*Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...* ***Κύριε, ἐλέησον (ιβ΄).***

*Ἐλέει καὶ οἰκτιρμοῖς...* ***Ἀμήν.***

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

Εἶθ᾽ οὕτως **οἱ δύο κανόνες τῆς ἑορτῆς.**
Ὁ μὲν **πρῶτος εἰς δ′,** κατὰ τὴν **Πατριαρχικὴν Τάξιν,**
ὁ δὲ **δεύτερος εἰς ς΄.**

**Κανὼν πρῶτος.** Ὠιδὴ α΄. Ἦχος **β΄.** Ὁ εἱρμός.

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Δεῦτε πιστοί, Πνεύματι θείῳ γηθόμενοι, τὴν ἐξ ἀκάρπου σήμερον, ἐπιδημήσασαν, εἰς βροτῶν σωτηρίαν, ἀειπάρθενον Κόρην, ὕμνοις τιμήσωμεν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Χαῖρε σεμνή, Μήτηρ καὶ δούλη Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος, μακαριότητος, τῶν ἀνθρώπων τῷ γένει, σὲ πάντες ἐπαξίως, ὕμνοις δοξάζομεν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἡ τῆς ζωῆς, τίκτεται σήμερον γέφυρα, δι᾽ ἧς βροτοὶ ἀνάκλησιν τῆς καταπτώσεως, τῆς εἰς Ἅιδου εὑρόντες, Χριστὸν τὸν ζωοδότην, ὕμνοις δοξάζουσιν.

**Κανὼν δεύτερος.** Ὠιδὴ α΄. Ἦχος **πλ. δ΄.** Ὁ εἱρμός.

Τῷ συντρίψαντι πολέμους, ἐν βραχίονι αὐτοῦ, καὶ διαβιβάσαντι τὸν Ἰσραὴλ ἐν Ἐρυθρᾷ Θαλάσσῃ, ᾄσωμεν αὐτῷ, ὡς λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Χορευέτω πᾶσα κτίσις, εὐφραινέσθω καὶ Δαυΐδ, ὅτι ἐκ φυλῆς αὐτοῦ, καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ, προῆλθε ῥάβδος, ἄνθος φέρουσα τὸν Κύριον, καὶ λυτρωτὴν τοῦ παντός.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἡ Ἁγία τῶν Ἁγίων, ἐν ἁγίῳ ἱερῷ, βρέφος ἀνατίθεται, ἀνατραφῆναι ἐκ χειρὸς Ἀγγέλου· πάντες οὖν πιστῶς συνεορτάσωμεν, ἐν τῇ γεννήσει αὐτῆς.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Στεῖρα ἄγονος ἡ Ἄννα, ἀλλ᾽ οὐκ ἄτεκνος Θεῷ· ἤδη γὰρ προώριστο, ἐκ γενεῶν ἁγνῆς Παρθένου Μήτηρ· ὅθεν ὁ τῆς κτίσεως ἐβλάστησε, Κτίστης ἐν δούλου μορφῇ.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Σὲ τὴν ἄσπιλον ἀμνάδα, τὴν τὸ ἔριον Χριστῷ, μόνην ἐκ κοιλίας σου προσαγαγοῦσαν, τὴν ἡμῶν οὐσίαν, πάντες ἐκ τῆς Ἄννης τικτομένην σε, ὕμνοις γεραίρομεν.

**Δόξα. Τριαδικόν.**

Τρία ἄναρχα δοξάζω, τρία ἅγια ὑμνῶ, τρία συναΐδια, ἐν οὐσιότητι μιᾷ κηρύττω· εἷς γὰρ ἐν Πατρί, Υἱῷ καὶ Πνεύματι, δοξολογεῖται Θεός.

**Καὶ νῦν. Θεοτοκίον.**

Τίς ἑώρακε παιδίον, ὃ οὐκ ἔσπειρε πατήρ, γάλακτι τρεφόμενον; ἢ ποῦ τεθέαται παρθένος Μήτηρ; ὄντως ὑπὲρ ἔννοιαν ἀμφότερα, Θεογεννῆτορ ἁγνή.

**Κανὼν πρῶτος.** Ὠιδὴ γ΄. **Ἦχος β΄.** Ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἀμέμπτως τῷ Θεῷ πολιτευσάμενοι, τὴν πάντων ἐκύησαν σωτηρίαν, οἱ θεόφρονες γεννήτορες, τῆς τὸν Κτίστην τεκούσης καὶ Θεὸν ἡμῶν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ὁ πᾶσι τὴν ζωὴν πηγάζων Κύριος, ἐκ στείρας προήγαγε τὴν Παρθένον· ἣν εἰσδῦναι κατηξίωσε, μετὰ τόκον φυλάξας ἀδιάφθορον.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Τῆς Ἄννης τὸν καρπὸν Μαρίαν σήμερον, τὴν βότρυν κυήσασαν ζωηφόρον, ὡς Θεοτόκον ἀνυμνήσωμεν, προστασίαν τε πάντων καὶ βοήθειαν.

**Κανὼν δεύτερος. Ἦχος πλ. δ΄.** Εἱρμὸς ἄλλος.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ᾽ ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Εὐλογημένη ἡ κοιλία σου σῶφρον Ἄννα, καρπὸν γὰρ ἤνθησε παρθενίας, τὴν ἀσπόρως τὸν τροφέα τῆς κτίσεως, τεκοῦσαν καὶ λυτρωτὴν Ἰησοῦν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Σὲ μακαρίζει Ἀειπάρθενε πᾶσα κτίσις, ἐξ Ἄννης σήμερον γεννηθεῖσαν, τὴν ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον ἄχραντον, τὸ ἄνθος Χριστὸν βλαστήσασαν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Σὲ ἀνωτέραν πάσης κτίσεως Θεοτόκε, δεικνύων ἄχραντε ὁ Υἱός σου, τὴν ἐξ Ἄννης μεγαλύνει σου γέννησιν, καὶ πάντας εὐφραίνει σήμερον.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἀνατραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, Παρθένε ἄχραντε Θεοτόκε, ἀνωτέρα ἀνεδείχθης τῆς κτίσεως, τὸν Κτίστην σαρκὶ κυήσασα.

## Δόξα.

Σὲ προσκυνοῦμεν Πάτερ ἄναρχε τῇ οὐσίᾳ, ὑμνοῦμεν ἄχρονον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα συναΐδιον σέβομεν, ὡς ἕνα τὰ τρία φύσει Θεόν.

## Καὶ νῦν. Θεοτοκίον.

Τὸν φωτοδότην καὶ ἀρχίζωον τῶν ἀνθρώπων, τεκοῦσα ἄχραντε Θεοτόκε, ἀνεδείχθης θησαυρὸς τῆς ζωῆς ἡμῶν, καὶ πύλη τοῦ ἀπροσίτου φωτός.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις· *Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

# ΜΕΣΩιΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα **οὐ** ψάλλομεν.

Ἀντ᾽ αὐτοῦ **ὁ Ἀναγνώστης** τὴν **Ὑπακοὴν, χύμα.**

Ἡ Ὑπακοή. Ἦχος β΄.

Πύλην ἀδιόδευτον ὁ Προφήτης, μόνῳ τῷ Θεῷ ἡμῶν τηρουμένην, τὴν ἁγίαν Παρθένον ἐκάλεσε· δι᾽ αὐτῆς διῆλθεν ὁ Κύριος,ἐξ αὐτῆς προῆλθεν ὁ Ὕψιστος, καὶ πάλιν ἐσφραγισμένην κατέλιπε, λυτρούμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

---

**Εἶτα αἱ δ΄καὶ ε΄ ᾠδαὶ τῶν κανόνων.**

**Κανὼν πρῶτος.** Ὠιδὴ δ΄. **Ἦχος β΄.** Ὁ εἱρμός.

Εἰσακήκοα Κύριε τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἀνυμνοῦμέν σε Κύριε τὸν τοῖς πιστοῖς σωτήριον λιμένα, παρασχόντα πᾶσι τὴν σὲ κυήσασαν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Σὲ Θεόνυμφε καύχημα, πᾶσι Χριστὸς ἀνέδειξε καὶ κράτος, τοῖς ὑμνοῦσι πίστει σοῦ τὸ μυστήριον.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἀπειρόγαμε Δέσποινα, ταῖς σαῖς λιταῖς λυτρούμενοι πταισμάτων, εὐγνωμόνως πάντες σὲ μακαρίζομεν.

**Κανὼν δεύτερος. Ἦχος πλ. δ΄.** Εἱρμὸς ἄλλος.

Ἀκήκοα Κύριε, τὴν ἀκοήν σου καὶ ἐφοβήθην· ὅτι ἀῤῥήτῳ βουλῇ, Θεὸς ὢν ἀΐδιος, ἐκ τῆς Παρθένου προῆλθες σαρκωθείς. Δόξα τῇ δόξῃ σου Χριστέ· δόξα τῇ δυνάμει σου.

**Τροπάρια.**

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Τὴν πάνσεπτον γέννησιν τῆς Θεοτόκου, ψαλμοῖς καὶ ὕμνοις, δοξολογοῦντες πιστοί, τὸν ἄψευστον, τὸν τῷ Δαυῒδ προομόσαντα καρπόν, ἐκ τῆς ὀσφύος παρασχεῖν, πίστει προσκυνήσωμεν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Διήνοιξας Κύριε τὴν μήτραν Σάῤῥας, καρπὸν ἐν γήρᾳ τὸν Ἰσαὰκ παρασχών· ὁ αὐτὸς καὶ σήμερον, τῇ εὐσεβεῖ Ἄννῃ δέδωκας Σωτήρ, ἐκ μήτρας γόνιμον καρπόν, ἄσπιλον Μητέρα τὴν σήν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἐπήκουσας Κύριε τῆς προσευχῆς μου, λεγέτω Ἄννα, ἐπαγγελίας καρπόν, παρασχών μοι σήμερον, τὴν ἐκ πασῶν γενεῶν καὶ γυναικῶν προορισθεῖσαν, εἰς ἁγνὴν ἄχραντον Μητέρα σου.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Συγχαίρει σοι σήμερον θεόφρον Ἄννα, ἡ οἰκουμένη· τοῦ λυτρωτοῦ γὰρ αὐτῆς, τὴν Μητέρα ἤνθησας, τὴν ἐκ τῆς ῥίζης βλαστήσασαν Δαυΐδ, δυνάμεως ῥάβδον ἡμῖν, φέρουσαν· τὸ ἄνθος Χριστόν.

**Δόξα.**

Δοξάζω σε ἄναρχε Τριάς, ἀμέριστε τῇ οὐσίᾳ, χερουβικῶς ἐκβοῶν, τῇ πηλίνῃ γλώσσῃ μου· Ἅγιος Ἅγιος Ἅγιος, ὁ ὢν καὶ διαμένων εἰς ἀεί, εἷς Θεὸς ἀΐδιος.

**Καὶ νῦν. Θεοτοκίον.**

Πεπλήρωνται Ἄχραντε, τῶν θεηγόρων αἱ προφητεῖαι, ἐν τῇ γεννήσει τῇ σῇ, τῶν πιστῶς καλούντων σε, σκηνὴν καὶ πύλην καὶ ὄρος νοητόν, βάτον καὶ ῥάβδον Ἀαρών, φυεῖσαν ἐκ ῥίζης Δαυΐδ.

**Κανὼν πρῶτος.** Ὠδὴ ε΄. **Ἦχος β΄.** Ὁ εἱρμός.

Ὁ σκιόγραφον ἀχλύν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν πιστῶν ἐκβάσει τῆς ἀληθείας, διὰ τῆς Θεόπαιδος, καταυγάσας τὰς καρδίας, καὶ ἡμᾶς τῷ φωτί σου Χριστὲ καθοδήγησον. **(δίς)**

*Ὁ σκιόγραφον ἀχλύν…*

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἀνυμνήσωμεν λαοί, τὴν τῶν πάντων αἰτίαν, τοῦ καθ᾽ ἡμᾶς γενέσθαι τὸν αἴτιον· ἧς τὸν τύπον ἔχαιρον, ἀξιούμενοι Προφῆται, ἐναργῆ σωτηρίαν ταύτης καρπούμενοι.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Τῆς ἀνίκμου ὁ βλαστός, ῥάβδου τοῦ Ἱερέως, τῷ Ἰσραὴλ ἐδήλωσε πρόκρισιν· καὶ νῦν τὴν λαμπρότητα, τῶν φυσάντων παραδόξως, δᾳδουχεῖ τὸ ἐκ στείρας πανένδοξον κύημα.

**Κανὼν δεύτερος.** Ἦχος πλ. δ΄. Εἱρμὸς ἄλλος.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

**Τροπάρια.**

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἄχραντός σου ἡ γέννησις, Παρθένε ἄχραντε· ἄφραστος καὶ ἡ σύλληψις, καὶ ἡ ὠδίς· ἄῤῥητος ὁ τόκος σου, νύμφη ἀνύμφευτε· Θεὸς γὰρ ἦν, ὅλον φορέσας ἐμέ.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Σήμερον εὐφραινέσθωσαν, Ἀγγέλων τάγματα· ᾄσμασι χορευέτωσαν οἱ ἐξ Ἀδάμ· ἐτέχθη γὰρ ῥάβδος, τὸ ἄνθος βλαστάνουσα, Χριστὸν τὸν μόνον λυτρωτὴν τοῦ Ἀδάμ.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Σήμερον Εὔα λέλυται τῆς καταδίκης, λέλυται καὶ ὁ Ἀδάμ, τῆς ἀρχαίας ἀρᾶς, ἐπὶ τῇ γεννήσει τῇ σῇ βοῶν ἄχραντε· Ἐν σοὶ τῆς φθορᾶς ἐλυτρώθημεν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Δόξα σοι τῷ δοξάσαντι τὴν στεῖραν σήμερον· ἔτεκε γὰρ τὴν ῥάβδον τὴν ἀειθαλῆ, ἐξ ἐπαγγελίας, ἐξ ἧς ἀνεβλάστησε Χριστός, τὸ ἄνθος τῆς ζωῆς ἡμῶν.

**Δόξα.**

Ἄναρχον προσκυνοῦμέν σε Τριὰς ἀμέριστε, ἄκτιστον συναΐδιον καὶ συμφυῆ, ἐν μιᾷ οὐσίᾳ, τρισὶν ὑποστάσεσιν, ὑπερφυῶς κηρυττομένην ἀεί.

**Καὶ νῦν. Θεοτοκίον.**

Γέγονεν ἡ κοιλία σου ἁγία Τράπεζα· ἔμεινεν ἡ ἁγνεία σου ὥσπερ τὸ πρίν, ἀσινὴς Παρθένε· Χριστὸς γὰρ ὁ ἥλιος, ὡς ἐκ παστοῦ Νυμφίος ὤφθη ἐκ σοῦ.



## Εἶτα ἡ Ϛ΄ ᾠδὴ τῶν κανόνων.

**Κανὼν πρῶτος.** Ὠιδὴ Ϛ΄. **Ἦχος β΄.** Ὁ εἱρμός.

Πρὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε· Σύ με ἀνάγαγε, ἐκ πυθμένος Ἅιδου δέομαι, ἵνα ὡς λυτρωτῇ, ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε πνεύματι θύσω σοι. **(δίς)**

*Πρὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε·...*

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Πρὸς Κύριον ἐν θλίψει στειρώσεως ἐβόησαν, τῆς Θεομήτορος, οἱ θεόφρονες γεννήτορες, καὶ ταύτην γενεαῖς γενεῶν ἐκύησαν, εἰς κοινὴν σωτηρίαν καὶ καύχημα.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἐδέξαντο οὐράνιον δῶρον ἀξιόθεον, τῆς Θεομήτορος, οἱ θεόφρονες γεννήτορες, αὐτῶν τῶν Χερουβὶμ ὑπερφέρον ὄχημα, τὴν τοῦ Λόγου καὶ Κτίστου λοχεύτριαν.

**Κανὼν δεύτερος. Ἦχος πλ. δ΄.** Εἱρμὸς ἄλλος.

Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ βίου χειμάζει με· ἀλλ᾽ ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ὑμνοῦμεν τὴν ἁγίαν σου γέννησιν, τιμῶμεν καὶ τὴν ἄσπορον σύλληψιν, σοῦ νύμφη Θεόνυμφε καὶ Παρθένε· σκιρτῶσι δὲ σὺν ἡμῖν Ἀγγέλων τάξεις, καὶ τῶν Ἁγίων ψυχαί.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἁγίαν τῶν Ἁγίων ὑπάρχουσαν, οἱ σώφρονες πατέρες σου Ἄχραντε, ἀνέθεντό σε ἐν οἴκῳ Κυρίου, ἀνατραφῆναι σεμνῶς, καὶ εἰς Μητέρα ἑτοιμασθῆναι αὐτῷ.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Αἱ στεῖραι καὶ μητέρες χορεύσατε· θαρσεῖτε καὶ σκιρτήσατε ἄγονοι· ἡ ἄτεκνος γὰρ στεῖρα,τὴν Θεοτόκον βλαστάνει ἥτις λύσει τῶν ὠδίνων τὴν Εὔαν, καὶ τῆς ἀρᾶς τὸν Ἀδάμ.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἀκούω τοῦ Δαυῒδ μελῳδοῦντός σοι· Ἀχθήσονται παρθένοι ὀπίσω σου, ἀχθήσονται εἰς ναὸν Βασιλέως· καὶ σὺν αὐτῷ σε κἀγώ, θυγατέρα τοῦ Βασιλέως ὑμνῶ.

**Δόξα.**

Ἐν σοὶ τὸ τῆς Τριάδος μυστήριον, ὑμνεῖται καὶ δοξάζεται Ἄχραντε· Πατὴρ γὰρ ηὐδόκησε, καὶ ὁ Λόγος ἐσκήνωσεν ἐν ἡμῖν, καὶ θεῖον Πνεῦμα σοὶ ἐπεσκίασε.

**Καὶ νῦν. Θεοτοκίον.**

Χρυσοῦν θυμιατήριον γέγονας· τὸ πῦρ γὰρ ἐν γαστρί σου ἐσκήνωσεν, ὁ Λόγος ἐκ Πνεύματος τοῦ Ἁγίου, καὶ ἐν ἀνθρώπου μορφῇ καθωράθη, Θεογεννῆτορ ἁγνή.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις· *Σὺ γὰρ εἶ ὁ βασιλεὺς…*

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

### Κοντάκιον. Ἦχος δ΄. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι. **Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον,καὶ τροφὸν τῆς ζωῆς ἡμῶν**

### Ὁ Οἶκος.

Ἡ προσευχὴ ὁμοῦ καὶ στεναγμός, τῆς στειρώσεως καὶ ἀτεκνώσεως Ἰωακεὶμ τε καὶ Ἄννης, εὐπρόσδεκτος, καὶ εἰς τὰ ὦτα Κυρίου ἐλήλυθε, καὶ ἐβλάστησαν καρπὸν ζωηφόρον τῷ κόσμῳ· ὁ μὲν γὰρ προσευχὴν ἐν τῷ ὄρει ἐτέλει, ἡ δὲ ἐν παραδείσῳ ὄνειδος φέρει· ἀλλὰ μετὰ χαρᾶς, **ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.**

Συναξάριον.

**Τῇ Η´ τοῦ αὐτοῦ μηνὸς τὸ Γενέθλιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.**

***Στίχ.* Πάσας ἀληθῶς, Ἄννα, νικᾷς μητέρας,**
***Μήτηρ ἕως ἂν σὴ γένηται θυγάτηρ.***

***Ἐξάγαγε πρὸς φῶς Θεομήτορα ὀγδόῃ Ἄννα.***

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι αὐτάδελφοι, Ῥοῦφος καὶ Ῥουφιανός, ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Σεβῆρος ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Ἀρτεμίδωρος πυρὶ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Νεομάρτυς Ἀθανάσιος ὁ ἐν Θεσσαλονίκῃ μαρτυρήσας ἐν ἔτει ,αψοδ´ (1774) ἀγχόνῃ τελειοῦται.

**Διήγησις περὶ ἀγάπης πάνυ ὠφέλιμος.**

***Στίχ.* Λύειν τὸ μῖσος σπουδάσωμεν ἐνθάδε,**
***Ἐκεῖσε καὶ γάρ, τοῦτο ἐργῶδες λύειν.***

**Ταῖς τῆς Θεοτόκου ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.**

* * *

# ΚΑΤΑΒΑΣΙΑΙ

## Τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ

Ὠιδὴ α´. Ἦχος πλ. δ´.

Σταυρὸν χαράξας Μωσῆς ἐπ᾿ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ᾿ εὔρους διαγράψας τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠιδὴ γ΄.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρῴην Ἐκκλησίᾳ νῦν ἐξήνθησε ξύλον Σταυροῦ ...

**... εἰς κράτος καὶ στερέωμα.**

Ὠιδὴ δ΄.

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠιδὴ ε΄.

Ὦ τρισμακάριστον Ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ βασιλεὺς καὶ Κύριος· δι᾿ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠιδὴ ϛ΄.

Νοτίου θηρὸς ἐν σπλάγχνοις παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Ὠιδὴ ζ΄.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ᾿ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὠιδὴ η΄.

**Αἰνοῦμεν, εὐλογοῦμεν, και προσκυνοῦμεν τὸν Κύριον.**

Εὐλογεῖτε, παῖδες, τῆς Τριάδος ἰσάριθμοι δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

## ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Ψαλλόμεναι τῇ 1η Αὐγούστου, ἀπό 6ης μέχρι 13ης τοῦ αὐτοῦ μηνός καί ἀπό 24ης τοῦ αὐτοῦ μηνός μέχρι 21ης Σεπτεμβρίου.

Ἦχος πλ. δ΄ Νη

### ΩΔΗ Α΄. ΧΟΡΟΣ Α΄.




### ΩΔΗ Γ΄. ΧΟΡΟΣ Β΄.


Ρ α βδος εις τυ υ πον του μυ στη ρι ι ου
πα ρα λαμ βα νε ε ε ται τω βλα στω γαρ προ
κρι ι νει τον ι ε ρε α τη στειρευ
ου ση δε πρω ην Εκ κλη σι α νυν ε ξην θη η
σε ξυ λον Σταυρου
ΧΟΡΟΣ Α΄.
εις κρα τος και στερε ε ω ω μα
ΩΔΗ Δ΄. ΧΟΡΟΣ Β΄.
Ε ι σα κη κο α Κυ ρι ε της οι κο
νο μι ι ας σου το μυ στη ρι ον κα τε
νο η σα τα ερ γα σου και ε δο ξα σα
σου την θε ο τη τα
ΩΔΗ Ε΄. ΧΟΡΟΣ Α΄.




## ΩΔΗ ΣΤ΄. ΧΟΡΟΣ Β΄.




υ περ κο σμι ον α να στα σιν υ πε ζω γρα φη
η σε του σαρ κι προ σπα γεν τος Χρι στου του
Θε ου και τρι η με ρω ε γε ε ερ σει τον
κο ο σμον φω τι ι σα αν τος

## ΩΔΗ Ζ΄. ΧΟΡΟΣ Α΄.


ε κνο ον προσταγμα τυ ραννου δυ σε
βους λα ους ε κλο νι σε πνε ον α πει λης
και δυ σφη μι ι ας θε ο στυ γους ο μως
τρεις παι δας ουκ ε δει μα τω ω σε θυ
μος θη ρι ω δης ου πυρ βρο μι ον αλλ αν
τι χουντι δρο σο βο λω πνευ μα α α τι πυ ρι



συ νον τες ε ψα αλ λον ο υ πε ρυ μνη
τος των πα τε ρων και η μων Θε ος ευ λο
γη το ος ει
ΩΔΗ Η΄. ΧΟΡΟΣ Β΄.
Α ι νου μεν ευ λο γου μεν και προ σκυνου
ου με εν τον Κυ ρι ον
Ευ λο γει ει τε παι δες της Τρι α δος
ι σα ριθμοι δη μι ουρ γον Πα τε ρα Θε ον
υ μνει ει τε τον συγ κα τα βαν τα Λο ο ο γον
και το πυρ εις δρο ο σον με τα ποι η σαν
τα και υ πε ρυ ψου τε το πα α σι ζω ην
πα ρε ε χον Πνευ μα Πα να γι ι ον εις τους
αι ω ω ω να α α ας

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

## Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

## Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.

Ἀντ᾽ αὐτῆς, ψάλλεται ἡ θ΄ ᾠδὴ τῶν κανόνων τῆς ἑορτῆς.

**Κανὼν πρῶτος. Ἦχος β΄.** Ὁ εἱρμός.

Ἡ τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν, ἀφράστως σωματώσασα, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν. **(δίς)**

*Ἡ τὸν πρὸ ἡλίου φωστῆρα…*

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ὁ τοῖς ἀπειθοῦσι λαοῖς, ἐξ ἀκροτόμου βλύσας νάματα, τοῖς εὐπειθοῦσιν ἔθνεσι χαρίζεται, ἐκ λαγόνων στειρωτικῶν, καρπὸν εἰς εὐφροσύνην ἡμῖν, σὲ Θεομῆτορ ἄχραντε, ἣν ἐπαξίως μεγαλύνομεν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Τὴν τῆς ἀποτόμου ἀρχαίας, ἀναιρέτιν ἀποφάσεως, καὶ τῆς Προμήτορος τὴν ἐπανόρθωσιν, τὴν τοῦ γένους τῆς πρὸς Θεὸν αἰτίαν οἰκειώσεως, τὴν πρὸς τὸν Κτίστην γέφυραν, σὲ Θεοτόκε μεγαλύνομεν.

**Κανὼν δεύτερος.** Ἦχος πλ. δ΄. Εἱρμὸς ἄλλος.

Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα· ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

**Τροπάρια. Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἐπάξιον Θεομῆτορ τῆς σῆς ἁγνείας, τὸν τόκον ἐκληρώσω δι᾽ ἐπαγγελίας· τῇ ποτὲ γὰρ ἀκάρπῳ, θεόβλαστος καρπὸς ἐδόθης· διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Πεπλήρωται τοῦ βοῶντος ἡ προφητεία· φησὶ γάρ· Ἀναστήσω σκηνὴν τὴν πεπτωκυῖαν, τοῦ ἱεροῦ Δαυΐδ, ἐν σοὶ Ἄχραντε προτυπωθεῖσαν, δι᾿ ἧς ὁ σύμπας τῶν ἀνθρώπων χοῦς, εἰς σῶμα ἀνεπλάσθη Θεῷ.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Τὰ σπάργανα προσκυνοῦμέν σου Θεοτόκε, δοξάζομεν τὸν δόντα, καρπὸν τῇ πρώην στείρᾳ, καὶ ἀνοίξαντα μήτραν, τὴν ἄγονον ἐκ παραδόξου· ποιεῖ γὰρ πάντα ὅσα βούλεται, Θεὸς ὢν παντεξούσιος.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.**

Ἐβλάστησας νυμφοτόκε Ἄννα θεόφρον, ἐκ μήτρας παρ᾿ ἐλπίδα, καὶ ἐξ ἐπαγγελίας, παρθενόφυτον ἄνθος, θεόβλαστον ἁγνείας κάλλος· διό σε πάντες μακαρίζομεν, ὡς ῥίζαν τῆς ζωῆς ἡμῶν.

**Δόξα.**

Ἀλλότριον τοῖς ἀνόμοις ἐστὶ δοξάζειν, τὴν ἄναρχον Τριάδα, Πατέρα καὶ Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παντοκρατορίαν, δι᾿ ἧς ὁ σύμπας κόσμος ἥδρασται, τῷ νεύματι τοῦ κράτους αὐτῆς.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐχώρησας ἐν γαστρί σου Παρθενομῆτορ, τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν Βασιλέα, ὃν ὑμνεῖ πᾶσα κτίσις, καὶ τρέμουσιν οἱ ἄνω θρόνοι· αὐτὸν δυσώπει πανσεβάσμιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καταβασία. Ἦχος πλ. δ΄.**

Μυστικὸς εἶ, Θεοτόκε, παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾿ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ πεφυτούργηται δένδρον· δι᾿ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, *σὲ μεγαλύνομεν.

## ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Ἦχος πλ.δ'. νη.




Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι…



# ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

## Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγάλλονται τὰ πέρατα, τῆς οἰκουμένης σήμερον, ἐν τῇ γεννήσει σου Κόρη, Θεοκυῆτορ Μαρία, καὶ ἀπειρόγαμε νύμφη· ἐν ᾗ καὶ τῶν φυσάντων σε, τὸ λυπηρὸν διέλυσας, τῆς ἀτεκνίας ὄνειδος, καὶ τῆς Προμήτορος Εὔας, τὴν ἐν τῷ τίκτειν κατάραν.




## Ἕτερον, ὅμοιον.

Ἀδὰμ ἀνακαινίσθητι, καὶ Εὔα μεγαλύνθητι· Προφῆται σὺν Ἀποστόλοις, χορεύσατε καὶ Δικαίοις· κοινὴ χαρὰ ἐν τῷ κόσμῳ, Ἀγγέλων τε καὶ ἀνθρώπων, ἐκ τῶν Δικαίων σήμερον, Ἰωακεὶμ καὶ τῆς Ἄννης, γεννᾶται ἡ Θεοτόκος.



* * *




## ΑΙΝΟΙ. Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

# ΠΑΣΑΠΝΟΑΡΙΟΝ ΤΩΝ ΑΙΝΩΝ ΑΡΓΟΣΥΝΤΟΜΟΝ

**Ἦχος Α΄. Πα.**






## Ἕτερα. Πανηγυρικώτερα.




νει τε α αυ τον εν τοις υ ψι
στοι οις σοι πρε πει
υ μνος τω υ μνος τω
θε ω ω ω ω ω
Α ι νει τε α αυ το ον παν
τες οι α αγ γε λοι α
αυ του αι νει τε
α αυ το ον πα σαι αι δυ να
μεις α αυ του σου σοι
πρε πει υ μνος τω υ
μνος τω θε ω

Ἀπὸ τοῦ ἑπομένου στίχου ἐπισυνάπτονται·
Στιχηρὰ προσόμοια γ′, **τῆς ἑορτῆς,** δευτεροῦντες τὸ α΄.
**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

**Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.**

Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ἐκ τῆς στείρας τίκτεται· ἡ χάρις καρπογονεῖν, λαμπρῶς ἀπάρχεται. Εὐφραίνου Ἰωακείμ, τῆς Θεοτόκου γεννήτωρ γενόμενος· οὐκ ἔστιν ἄλλος ὡς σύ, τῶν γηγενῶν γεννητόρων θεόληπτε· ἡ γὰρ θεοδόχος Κόρη, τοῦ Θεοῦ τὸ σκήνωμα, τὸ πανάγιον ὄρος, διὰ σοῦ ἡμῖν δεδώρηται.

**Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.** *Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ...*

**Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.**

Ὢ τοῦ παραδόξου θαύματος! ὁ ἐκ στείρας καρπός, ἀναλάμψας νεύματι, τοῦ πάντων Δημιουργοῦ, καὶ παντοκράτορος, εὐτόνως τὴν κοσμικήν, τῶν ἀγαθῶν διαλέλυκε στείρωσιν. Μητέρες σὺν τῇ Μητρί, τῆς Θεοτόκου χορεύσατε κράζουσαι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

**Στίχ. δ΄ Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον**

Στήλη σωφροσύνης ἔμψυχος, καὶ λαμπρὸν δοχεῖον, ἀποστίλβον χάριτι, ἡ Ἄννα ἡ εὐκλεής, φανεῖσα τέτοκε, τὴν πρόβολον ἀληθῶς, τῆς παρθενίας τὸ θεῖον ἀπάνθισμα, τὴν πάσαις παρθενικαῖς, καὶ παρθενίας ποθούσαις τὸ χάρισμα, τὸ τῆς παρθενίας κάλλος, ἐμφανῶς βραβεύουσαν, καὶ παρέχουσαν πᾶσιν, τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

## Δόξα. Καὶ νῦν. Ἦχος πλ. β΄.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφών, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον, τοῦ Ἱερέως τοῦ Μεγάλου· μόνη, καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος Πα.




αυ τη η με ε ρα α α α Κυ υ
υ ρι ι ι ι ου ου ου ου ου ου ου ου
α γαλ λι α α σθε ε λα α α οι ι
δου γαρ του φω το ος ο ο ο νυ υμ φων
και η βι βλος του λο ο γου ου ου τη ης ζω ω
ω ης εκ γα στρο ος προ ο ο ο ε λη
η η η η λυ υ υ υ θε και η κα τα
α να το λας πυ υ υ λη α πο κυ υ υ
υ η η η θει ει ει ει σα προ σμε ε
ε νει ει ει την ει ει ει ει ει σο ο ο
ο την ει ει ει σο δο ο ο ο ο ο ο

ο ον του Ι ε ρε ε ε ε ε ε ως

του ου ου Με ε ε γα α α α α α α α α

λου μο ο νη και μο ο νον ει σα α γου

σα α α α α α α Χρι ι στο ο ο ο ο

ο ο ο ο ο ο χο ο ο ον εις την

οι κου με ε ε ε ε ε ε ε ε ηη οι

κου με ε ε ε ε νην προς σω τη ρι ι ι

ι ι αν τω ω ων ψυ χω ω ων η η η η

μω ω ω ων



Καὶ εὐθὺς ψάλλεται εἰς τὸν **αὐτὸν** ἦχον **Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ**

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο,Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς,καθάπερ ἠλπίσαμεν ἐπὶ σέ

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ΄)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα·Κύριε,ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου,ὅτι ἥμαρτόν σοι

Κύριε, πρὸς σὲ κατέφυγον·δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός,ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς **(γ')**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ πάλιν ἰσχυροτέρᾳ φωνῇ·

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς


ΗΧΟΣ πα
* Δο ξα Σοι τω δει ξαν τι το φως
δο ξα εν υ ψι ι στοις Θε ω και ε πι γης ει
ρη η νη εν αν θρω ποις ευ δο κι α
2. Υ μνου μεν Σε ευ λο γου μεν Σε προσκυ
νου μεν Σε δο ξο λο γου μεν Σε ευ χα ρι στου
μεν Σοι δι α την με γα α λην Σου δο ξαν
3. Κ υ ρι ε Βα σι λευ ε που ρα νι ε Θε
ε Πα τερ Παν το κρα τορ Κυ ρι ε Υι ε μο
νο γε νες Ι η σου Χρι στε και Αγιον Πνευμα


4. Κ υ ρι ε ο Θε ος ο α μνος του Θε
ου ο Υι ο ος του Πα τρος ο αι αι ρων την
α μαρ τι ι αν του κο σμου ε λε η σον η μας
ο αι αι ρων τας α μαρ τι ι ας του κο σμου
5. Π ρο σδε ξαι την δε η σιν η μων ο κα
θη με νος εκ δε ξι ων του Πα τρος και ε λε η
σον η μας
6. Ο τι συ ει μο νος Α γι ος συ ει
ει μο νος Κυ ρι ος Ι η σους Χρι στος εις δο ο
ξαν Θε ου Πα τρος Α μην


7. Κα θε κα στην η με ραν ευ λο
γη σω σε και αι νε σω το ο νο μα σου εις
τον αι ω ω να και εις τον αι ω να του αι ω νος
8. Κα τα ξι ι ω σον Κυ ρι ε εν τη η με
ρα ταυ τη α να μαρ τη τους φυ λα χθη ναι η μας
9. Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των
Πα τε ε ρων η μων και αι νε τον και δε δο ξα
σμε ε νον το ο νο μα σου εις τους αι ω ω νας Αμην
10. Γε νοι το Κυ ρι ε το ε λε ος σου ε
φ η μας κα θα περ ηλ πι σα μεν ε πι σε


11. Ευ λο γη τος ει ει Κυ ρι ε ε δι δα
ξον με τα δι και ω μα τα σου
(Ἦχ γ')
12. Κυ ρι ε κα τα φυ γη ε γεν
γη η θης η μιν εν γε νε α και γε νε α ε γω
ει πα Κυ ρι ε ε λε η σον με ι
α σαι την ψυ χη ην μου ο τι η μαρ τοον σοι
13. Κυ ρι ε προς σε κα τε ε φυ γον δι
δι ξον με του ποι ειν το θε λη μα α σου
ο τι συ ει ει ο θε ος μου
14. Ο τι πα ρα σοι πη γη ζω ης εν


τω φω τι σου ο ψο μεθα φως
15. Π α ρα τει νον το ε λε ο ος σου ου τοις
γι νω σκου σι σε
Α γι ος ο Θε ος
Α γι ος Ι σχυρος
Α γι ος Α θα να τος ε
λε η σον η μας
16. Δ ο ξα Πα τρι ι και Υι ω και Α
γι ω Πνευματι
17. Και νυν και α ει
και εις τους αι ω νας των αι ω νων Α μην
Α γι ος Α θα να τος ε λε η σον η μας
Ἀσματικόν
19. Α γι ι ι ο ος ο ο ο




## Καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον. **(ἅπαξ)**



# ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν· *Ὅτι πρέπει σοι πᾶσα δόξα…*

## Τὰ ἀντίφωνα τῆς ἑορτῆς.

### Ἀντίφωνον Α΄. Ἦχος β΄.

**Στίχ. α΄.Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.**

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**Στίχ. β΄. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.**

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου…*

**Στίχ γ΄Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ,ἡ πόλις τοῦ Θεοῦ**

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου…*

**Στίχ. δ΄. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ.**

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου…*

**Δόξα. Καὶ νῦν.**

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου…*

Ὁ διάκονος μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς ἐκφώνησιν· Ὅτι σὸν…

### Ἀντίφωνον Β΄. Ἦχος β΄.

**Στίχ. α΄. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. β΄. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,***ὁ ἐν ἁγίοις θαυμαστός**,*ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. γ΄. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,*ὁ ἐν ἁγίοις θαυμαστός,*ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. δ΄. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,*ὁ ἐν ἁγίοις θαυμαστός,*ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Δόξα. Καὶ νῦν.**

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ὁ διάκονος μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς ἐκφώνησιν·*Ὅτι ἀγαθὸς…*

**Ἀντίφωνον Γ΄.**

**Στίχ. α΄. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.**

**Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄.**

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

**Στίχ. β΄. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.**

**Στίχ. γ΄. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.**

## Ἀπολυτίκιον, Ἦχος δ΄ Δι




## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.




## ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ ΑΠΟΛΥΤΙΚΙΟΝ - ΚΟΝΤΑΚΙΟΝ

### Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον,ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον

## Κοντάκιον. Ἦχος δ΄. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου ἠλευθερώθησαν, ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.



## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἅγιος ὁ Θεός,ἅγιος ἰσχυρός,ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

* * *

# ΑΠΟΣΤΟΛΟΣ

## Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἑορτῆς.

### Προκείμενον. Ἦχος γ΄.

**Προκείμενον.** Ἦχος γ΄. Ὠιδὴ τῆς Θεοτόκου. (Λουκ. α΄ 46-49).

**Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.**

**Στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.**

**Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, **καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.**

## Ἀλληλούϊα (γ΄).

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν … (Λουκ. ι΄ 38-42, ια΄ 27-28).

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· Γυνὴ δέ τις ὀνόματι Μάρθα…

**Δόξα σοι, Κύριε, δόξα σοι.**

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου.**

* * *

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν **ἐκτενῆ δέησιν**, ὁ δὲ **λαὸς** εἰς ἑκάστην δέησιν τὸ **Κύριε, ἐλέησον (τρίς),** εἰς δὲ τὴν **τελευταίαν ἅπαξ.**

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

## Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

* * *

### ΔΕΗΣΕΙΣ ΥΠΕΡ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ

Ὁ διάκονος λέγει τὰς ὑπὲρ τῶν κατηχουμένων δεήσεις,τοῦ χοροῦ λέγοντος εἰς ἑκάστην τὸ Κύριε, ἐλέησον.

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν·

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης·

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

**Ὁ χορός· Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

Καὶ ὁ ἱερεὺς ποιήσας διὰ τοῦ ἱ. Εὐαγγελίου σταυρὸν ἐπὶ τοῦ εἰλητοῦ ἀποθέτει αὐτὸ εἰς τὸ ἄνω μέρος τῆς ἁγίας Τραπέζης καὶ ἐξαπλοῖ τὸ εἰλητόν.

Ὁ δὲ διάκονος λέγει·

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων.

### ΔΕΗΣΕΙΣ ΤΩΝ ΠΙΣΤΩΝ

Ὁ διάκονος·

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

Καὶ πάλιν ὁ διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· Σοφία.

Καὶ εἰσέρχεται εἰς τὸ Ἱερόν.

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· **Ἀμήν.**

# Η ΕΙΣΟΔΟΣ ΤΩΝ ΤΙΜΙΩΝ ΔΩΡΩΝ

## Ψάλλεται ὁ χερουβικὸς ὕμνος·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες * καὶ τῇ ζωοποιῷ Τριάδι * τὸν τρισάγιον ὕμνον προσᾴδοντες, * πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν, * Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, * ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. * Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Πληρωθέντος τοῦ Χερουβικοῦ ὕμνου λέγει ὁ διάκονος·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός· **Παράσχου, Κύριε.**

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Ὁ χορός· Παράσχου, Κύριε.**

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Ὁ χορός· Παράσχου, Κύριε.**

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Ὁ χορός· Παράσχου, Κύριε.**

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Ὁ χορός· Παράσχου, Κύριε.**

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

**Ὁ χορός· Παράσχου, Κύριε.**

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Ὁ χορός· Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προσκομιδῆς καὶ τὴν ἐκφώνησιν·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

## ΑΣΠΑΣΜΟΣ ΚΑΙ ΟΜΟΛΟΓΙΑ

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

**Ὁ χορός· Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

**Ὁ χορός· Πατέρα, Υἱὸν * καὶ ἅγιον Πνεῦμα, * Τριάδα ὁμοούσιον * καὶ ἀχώριστον.**

Ὁ διάκονος· Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

## Ὁ προεστὼς ἀπαγγέλλει μετὰ τοῦ λαοῦ·
## Τὸ σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.
Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων·
Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο.
Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.
Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.
Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.
Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.
Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.
Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.
Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.
Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.
Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

# Η ΑΓΙΑ ΑΝΑΦΟΡΑ

Ὁ διάκονος· Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

**Ὁ α΄ χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.**

Ὁ ἱερεύς·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

**Ὁ β΄ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.**

Ὁ ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας.

**Ὁ α΄ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.**

Ὁ ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

**Ὁ β΄ χορός· Ἄξιον καὶ δίκαιον.**

Καὶ ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς, ἐν τέλει λέγει ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.

**Ὁ α΄ χορός· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, * πλήρης ὁ οὐρανὸς * καὶ ἡ γῆ τῆς δόξης σου. * Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· * εὐλογημένος ὁ ἐρχόμενος * ἐν ὀνόματι Κυρίου. * Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.**

Ὁ δὲ ἱερεὺς κλινόμενος ἐπεύχεται καὶ εἶτα λέγει ἐκφώνως·

Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

**Ὁ χορός· Ἀμήν.**

Καὶ πάλιν ἐπεύχεται ὁ ἱερεύς, καὶ εἶτα λέγει ἐκφώνως·

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

**Ὁ χορός· Ἀμήν.**

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται καὶ εἶτα λέγει ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα.

**Ὁ β΄ χορός· Σὲ ὑμνοῦμεν, * σὲ εὐλογοῦμεν, * σοὶ εὐχαριστοῦμεν, Κύριε, * καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.**

Ὁ δὲ ἱερεὺς κλίνας τὴν κεφαλὴν μετὰ πάσης κατανύξεως εὔχεται, σφραγίζει τὰ τίμια δῶρα, εἶτα ἐπεύχεται καὶ θυμιῶν τρὶς ἐκ γ΄ τὰ ἅγια λέγει ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου,δεσποίνης ἡμῶν,Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

## ΑΞΙΟΝ ΕΣΤΙΝ

Ὁ εἱρμὸς θ΄ ᾠδῆς τοῦ β΄ κανόνος. Ἦχος πλ.δ΄.

**Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιία· ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.**

## ΜΕΓΑΛΥΝΑΡΙΟΝ

**Σήμερον γεννᾶται περιφανῶς, ἐξ ἐπαγγελίας, ἡ θεόνυμφος Μαριάμ,ἡ προορισθεῖσα τῷ Λόγῳ πρὸ αἰώνων· ὑμνήσωμεν οὖν πάντες ταύτης τὴν γέννησιν.**

* * *

Καὶ πάλιν ἐπεύχεται ὁ ἱερεύς, καὶ εἶτα λέγει ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ χορός· **Κύριε, ἐλέησον.**

Ὁ διάκονος· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

Ὁ χορός· **Καὶ πάντων καὶ πασῶν.**

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Καὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· **Ἀμήν.**

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ χορός· **Καὶ μετὰ τοῦ πνεύματός σου.**

* * *

## ΔΕΗΣΕΙΣ - Η ΚΥΡΙΑΚΗ ΠΡΟΣΕΥΧΗ

Ὁ διάκονος· Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· **Κύριε, ἐλέησον.** Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· **Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·

## Ὁ προεστὼς ἀπαγγέλλει μετὰ τοῦ λαοῦ·

**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

## ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.

**Ὁ χορός· Καὶ τῷ πνεύματί σου.**

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

**Ὁ χορός· Σοί, Κύριε.**

Ὁ ἱερεὺς κλινόμενος τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ὁ χορός· Ἀμήν.**

## ΥΨΩΣΙΣ - ΚΛΑΣΙΣ - ΜΕΤΑΛΗΨΙΣ

Ὁ ἱερεὺς ἐπεύχεται καὶ προσκυνεῖ τρὶς λέγων καθ᾽ ἑαυτόν· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με. Εἶτα ὁ διάκονος ἐκφωνεῖ· Πρόσχωμεν. Καὶ ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον Ἄρτον ἐκφωνεῖ· Τὰ ἅγια τοῖς ἁγίοις.

**Ὁ χορός· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.**

### Καὶ ψάλλει τὸ κοινωνικὸν·

**Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.**

## Ψαλμός 115ος

### «Ποτήριον σωτηρίου λήψομαι»

### Τῇ Τετάρτῃ καί εἰς Θεομητορικάς ἑορτάς

Ἦχος δ΄ Δι



# Τῇ Τετάρτῃ


Ἦχος Δι
Πο τη η η η η η η η η
η η η η η η η η η η χη η η η η
η η η η η η η η ρι ι ι πο τη ρι ι
ο ο ο ο ο ο ον σω τη ρι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι γι ι ι ι
ι ι ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι ι
γι ι ι ι ι ι ι ου ου ου λη η η η η η
η γη η η η η η η η η η η η η η χη η
η η η η η η η η η η η η η η
η η η η η η σω τη ρι ι ου λη η η η η


η ψο ο ο ο ο ο ο μαι αι αι ʅαι αι αι αι αι
και το ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο και το ο ο ο ο ο
ο νο ο μα α α α Κυ ρι ι ι ι χι ι
ι ι ι ι ι ι ι ι ʅι ι ι ι ι ι ι ι
ι ι κυ ρι ι ι ι ου ου ου ου ου ου ου ου
ε πι κα λε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε σο ο ο ʅο ο ο ο ο ο ο
ο ο ο ο ο ε πι κα α α λε ε ε ε ε ε
ι ι κυ ρι ι ι ι ου ου ου ου ου ου ου ου


ε πι κα λε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε σο ο ο λο ο ο ο ο ο ο
ο ο ο ο ο ε πι κα α α λε ε ε ε ε ε
ε ε ε ε ε ε ε σο ο ο ε πι ι
κα λε σο ο μαι αι αι αι αι αι αι αι Α λε ε
λα λε ε λε λα λε λλα λα λε λα λε ε ε
ε λε λα λα λε λε λε λα λα λε λε λλα λα
λε ε λε α λα λε λε λα λα ε λε αλ λη
λου ου ου ου ου ου ου ι ι ι α α α α α α α
α α α α α α α α α

# ΜΕΤΑ ΤΗΝ ΜΕΤΑΔΟΣΙΝ

Εἰς τό· *Πάντοτε, νῦν καὶ ἀεὶ…*

**Ὁ χορός· Ἀμήν. Ἦχος β΄.**

**Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.**

## ΕΥΧΑΡΙΣΤΙΑ

Ὁ διάκονος· Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

**Δόξα σοι, Κύριε, δόξα σοι.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Ὁ χορός· Σοί, Κύριε.**

Ὁ ἱερεὺς τὴν εὐχαριστήριον εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·

Καὶ λέγων τοῦτο λαμβάνει τὸ ἱ. Εὐαγγέλιον καὶ ποιήσας δι᾽ αὐτοῦ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ ἤδη διπλωθέντος εἰλητοῦ ἐπιθέτει αὐτὸ ἐπ᾽ αὐτοῦ.

**Ὁ χορός· Ἀμήν.**

## ΑΠΟΛΥΣΙΣ

Ὁ ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

**Ὁ χορός· Ἐν ὀνόματι Κυρίου.**

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Καὶ ὁ ἱερεὺς ἐξελθὼν τῆς Ὡραίας Πύλης ἀναγινώσκει *μεγαλοφώνως* ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ τὴν εὐχήν·

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός·** Ἀμήν. **Ἦχος β΄.**

**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)**

Ὁ δὲ ἱερεὺς ἀπέρχεται εἰς τὴν Πρόθεσιν καὶ λέγει χαμηλοφώνως τὴν εὐχὴν ἐν τῷ συστεῖλαι τὰ ἅγια καὶ τὴν ἐκφώνησιν

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ χορός· Κύριε, ἐλέησον.**

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός· Ἀμήν.**

**Καὶ μετὰ τοῦτο ὁ ἱερεὺς τὴν ἀπόλυσιν·**

**Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν...**

**Ὁ χορός· Ἀμήν.**

Ἡ παροῦσα ἀκολουθία ἀποτελεῖ προσωπικὸν πόνημα τὸ ὁποῖον κατηρτήσθη ἀποκλειστικῶς καὶ μόνον διὰ **τὶς προσωπικὲς** μου ἀνάγκες καὶ τὶς ἀνάγκες τοῦ Ναοῦ που διακονῶ.
Θεώρησα δὲ πάνυ ὠφέλιμον νὰ τὸ κοινοποιήσω πρὸς **ἐξυπηρέτησιν** τῶν ἐν Χριστῷ ἀδελφῶν, Ἱεροψαλτῶν καὶ μή.
Δὲ διεκδικῶ **οὐδεμία** πατρότητα ἐπὶ τῶν πνευματικῶν δημιουργημάτων τὰ ὁποῖα μεταχειρίστηκα καὶ παρέχω ὑμῖν πλήρην τὸν κατάλογον ἀπὸ τὸν ὁποῖον ἤντλησα τὰ τοιαῦτα.


Βιβλιογραφία – Πηγαὶ – Βοηθήματα

Ἠλεκτρονικαὶ

1. Ὅσιος Πορφύριος Καυσοκαλυβίτης, νυνὶ διὰ τοῦ «~**Nektar**»
2. **ΑΘΩΝΙΚΟΝ ΜΟΥCΙΚΟΝ ΕΓΧΕΙΡΙΔΙΟΝ, ΕCΠΕΡΙΝΟC**
3. **ΑΘΩΝΙΚΟΝ ΜΟΥCΙΚΟΝ ΕΓΧΕΙΡΙΔΙΟΝ, ΟΡΘΡΟC**
4. Ψαλτήριον Τερπνόν, Ι.Μ. Σίμωνος Πέτρας
5. ΕΛΛΗΝΙΚΑ ΛΕΙΤΟΥΡΓΙΚΑ ΚΕΙΜΕΝΑ ( glt )
6. ΠΑΤΡΙΑΡΧΙΚΗ ΜΟΥCΙΚΗ ΚΙΒΩΤΟC, ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
7. Ἀγγελικὸς Χορός, Β' ΟΡΘΡΟC, Ι.Μ. Σίμωνος Πέτρας
8. Μουσικὸν Ἐγκόλπιον Παρακλητικῆς, Κύριοι/Πλάγιοι Ἦχοι, π. Ἱεροθέου Ἱερομονάχου
9. ΗΧΩ ΒΥΖ. ΕΚΛ. ΜΟΥCΙΚΗC, Θ. ΑΚΡΙΔΑ
10. Μουσικὸν Μηνολόγιον CΕΠΤΕΜΒΡΙΟΥ, π. Κων/νου Παπαγιάννη
11. ΚΟΙΝΩΝΙΚΑ ΠΑΛΑΙΩΝ ΜΟΥCΙΚΟΔΙΔΑCΚΑΛΩΝ (Συλλογὴ παραληφθεῖσα ἐκ τοῦ «Ψαλτολογίου» )
12. Πρότυπον Ἀναστασιματάριον, Χ. Ταλιαδώρου
13. ΠΡΟΤΥΠΟC ΒΥΖΑΝΤΙΝΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ, ΑΝΤΩΝΙΟΥ ΠΑΤΡΩΝΑ
14. ΑΚΟΛΟΥΘΙΑ ΓΕΝΕCΙΟΥ ΘΕΟΤΟΚΟΥ - 2019 συνταχθεῖσα παρὰ ἘΛΕΝΗC ΝΤΟΒΑ-ΧΑΤΖΗ (παραληφθεῖσα ἐκ τοῦ «Ψαλτολογίου» )
15. ΑΚΟΛΟΥΘΙΑ ΓΕΝΕCΙΟΥ ΘΕΟΤΟΚΟΥ συνταχθεῖσα παρὰ ΧΡΗCΤΟΥ ΤCΑΚΙΡΟΓΛΟΥ (παραληφθεῖσα ἐκ τοῦ «Ψαλτολογίου» )
16. ΑΠΟΛΥΤΙΚΙΟΝ: Γραφίδη Σωτηρίου Ἀρβανίτη
17. ΠΑΤΡΙΑΡΧΙΚΗ ΜΟΥCΙΚΗ ΚΙΒΩΤΟC, ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ


Θεόδωρος Τσατσαρώτης

Ἱεροψάλτης